# 07 FEBRUARIE
# GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIC GHEORGHE DE LA ALIKIANOS-CRETA



ATENA,1964


Ο ΑΓΙΟϹ
ΓΕΩΡΓΙΟϹ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΓΕΩΡΓΙΟΥ

ΤΟΥ ΕΞ ΑΛΙΚΙΑΝΟΥ ΚΥΔΩΝΙΑΣ ΚΡΗΤΗΣ

ψαλλομένη τῇ 7η Φεβρουαρίου

ΠΟΙΗΘΕΙΣΑ ΕΝ ΑΓΙῼ ΟΡΕΙ
ΥΠΟ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΙΔΟΤΑΙ ΠΡΟΝΟΙᾼ
ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ
ΚΥΔΩΝΙΑΣ ΚΑΙ ΑΠΟΚΟΡΩΝΟΥ
ΝΙΚΗΦΟΡΟΥ

ΑΘΗΝΑΙ 1964

# ΠΡΟΛΟΓΟΣ

Ἀπὸ τῶν πρώτων χρόνων τοῦ Χριστιανισμοῦ καὶ ἡ μεγαλόνησος Κρήτη προσέφερε τὴν πολύτιμον συμβολήν της διὰ τοῦ αἵματος Μαρτύρων ἐξ αὐτῆς εἰς τὴν κατίσχυσιν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. Ἡ παράδοσις αὕτη, ἥτις συνεχίσθη ὑπὸ ἄλλας μορφὰς καθ' ὅλην τὴν βυζαντινὴν περίοδον, ἀνεζωογονήθη μὲ τὸ ἀρχικὸν αὐτῆς περιεχόμενον κατὰ τοὺς χρόνους τῆς τουρκοκρατίας.[1]

Οὕτως, ἀνεφάνησαν τότε ἄνδρες εὐσεβεῖς ὑπὲρ τῆς ἀμωμήτου ἡμῶν πίστεως μαρτυρήσαντες, εἰς τὴν χορείαν τῶν ὁποίων ἐξέχουσαν θέσιν κατέχει καὶ ὁ ἐξ Ἀλικιανοῦ, τῆς ἡμετέρας Θεοσώστου ἐπαρχίας, καταγόμενος Νεομάρτυς Ἅγιος Γεώργιος, ὑποστὰς μαρτυρικὸν θάνατον ἐν Κρήτῃ τῇ 7ῃ Φεβρουαρίου τοῦ ἔτους 1867.[2]

Ἐπιθυμοῦντες ὅπως ἐξάρωμεν πρεπόντως τὴν μνήμην τοῦ ἐνδόξου τούτου Νεομάρτυρος καὶ ὅπως διὰ ταύτης συντελέσωμεν εἰς τὴν ψυχικὴν ὠφέλειαν τοῦ εὐσεβοῦς ἡμῶν ποιμνίου, δημοσιεύομεν νῦν τὸ πρῶτον τὴν ἱερὰν ᾀσματικὴν Ἀκολουθίαν αὐτοῦ, συνταχθεῖσαν, τῇ ἡμετέρᾳ παρακλήσει, ὑπὸ τοῦ ἐν Ἁγίῳ Ὄρει ἀσκουμένου ὁσιολογιωτάτου Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

Ἐν Χανίοις τῇ 7ῃ Φεβρουαρίου 1964.

† Ὁ Κυδωνίας καὶ Ἀποκορώνου Νικηφόρος.

---

1. Χρυσοστόμου Α. Παπαδοπούλου (Ἀρχιεπισκόπου Ἀθηνῶν), Οἱ Νεομάρτυρες, (ἔκδ. 2α). Ἐν Ἀθήναις 1934.

2. Ἐκτενῆ ἀφήγησιν τοῦ μαρτυρίου τοῦ Ἁγίου Νεομάρτυρος Γεωργίου τοῦ ἐξ Ἀλικιανοῦ, τὸ ὁποῖον καὶ δημοσιεύομεν εἰς τὸ τέλος τῆς ἱ. Ἀκολουθίας, βλέπε παρὰ τῷ Κωνσταντίνῳ Δουκάκῃ (Νέον Μαρτυρολόγιον, σελ. 51-55). Πρβλ. καὶ Σωφρονίου Εὐστρατιάδου Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, (ἔκδ. Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος), Ἀθῆναι, σ. 96.

# ΦΕΒΡΟΥΑΡΙΟΥ Ζ΄.

Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Γεωργίου, τοῦ ἐκ τῆς ἐπαρχίας Κυδωνίας Κρήτης καταγομένου, καὶ ἐν ἔτει 1867 ἀθλήσαντος.

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς ἀθλήσας στερρότατα, Νεομάρτυς Γεώργιε, μαρτυρίου εἴληφας στέφος ἄφθαρτον· τὸν γὰρ ἀόρατον δράκοντα, βυθῷ τῶν αἱμάτων σου, ἐν ἐσχάτοις τοῖς καιροῖς, κατεπόντισας Ἅγιε, καὶ ἀνέδραμες, νικηφόρος πρὸς γῆν τῆς ἀφθαρσίας, καὶ τῆς δόξης τοῦ Κυρίου, σὺν Ἀθληταῖς ὤφθης μέτοχος.

Τῶν Μαρτύρων τὰ σκάμματα, μελετῶν ἐνθεώτατα, πρὸς τὴν τούτων μίμησιν ἀνεπτέρωσαι, καὶ τῷ Σωτῆρι ἐκραύγαζες· Κἀμὲ καταξίωσον, Ἀθλοθέτα τῆς αὐτῶν, κοινωνῆσαι ἀθλήσεως, τῇ δυνάμει σου· διὰ τοῦτο ἀνδρείως ἐναθλήσας, τῆς ἐφέσεως τὸ πέρας, εὗρες ἀξίως Γεώργιε.

Κυδωνίας τὸ βλάστημα, καὶ τερπνὸν ἀγαλλίαμα, τῶν Κρητῶν τὸ ἔνθεον ἐγκαλλώπισμα, τῆς Φολεγάνδρου τὸ κάλλιστον, καὶ θεῖον ἐντρύφημα, Ἀθλητῶν τὸν μιμητήν, καὶ ἐν δόξῃ ἰσότιμον, μακαρίσωμεν, ὡς γενναῖον ὁπλίτην τοῦ Σωτῆρος, τὸν Γεώργιον τὸν θεῖον, Νεομαρτύρων τὸ καύχημα.

Οὔτε ἄνθος νεότητος, οὔτε βίαιος θάνατος, οὐ στοργὴ γονέων σὲ ἀπεχώρισε, τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, παμμάκαρ Γεώργιε, ἀλλ᾽ ἀνδρείᾳ θαυμαστῇ, ἀκατάπληκτος ἕστηκας, ἐκτεμνόμενος, μεληδὸν σου τὸ σῶμα διὰ πόθον, Ἀθλοφόρε τοῦ Σωτῆρος, τοῦ σὲ λαμπρῶς μεγαλύναντος.

Καὶ τὰς χεῖρας τεμνόμενος, καὶ τὰ ὦτα Γεώργιε, καὶ τὴν ῥῖνα Ἅγιε ἀφαιρούμενος, καὶ ὀφθαλμοὺς ὀρυττόμενος, ἐβόας ἀπτόητος, τοῖς θερίζουσι σκληρῶς, τὰ μακάρια μέλη σου, πλήρης χάριτος· Τὸν Χριστόν μου τιμῶ ἀεὶ καὶ σέβω, ὑπὲρ οὗ καὶ χαίρων θνήσκω, ἵνα συζήσω αἰώνια.

www.tezaurliturgic.ro



Τοῖς κρουνοῖς τῶν αἱμάτων σου, τῶν χυθέντων Γεώργιε, δι' ἀγάπην μείζονα τοῦ Ποιήσαντος, τῆς Ἐκκλησίας τὰς αὔλακας, πλουσίως κατήρδευσας, τῇ πατρίδι δὲ τῇ σῇ, δρόσος θεία οὐράνιος, ταῦτα ὤφθησαν· διὰ τοῦτο τὴν μνήμην σου γεραίρει, ἀνυμνοῦσά σου τοὺς ἄθλους, καὶ τῇ πρεσβείᾳ σου γάννυται.

Δόξα... Ἦχος πλ. β'.

Ζήλῳ θείῳ τρωθείς, ἀθλητικὸν ὑπῆλθες ἀγῶνα, Νεομάρτυς Γεώργιε· φερωνύμως γὰρ γεωργῶν, τοὺς καρποὺς τῆς θείας ἀγάπης, ὑπὲρ αὐτῆς προθύμως ἐξέδωκας, σεαυτὸν εἰς θάνατον· καὶ τὸ σῶμα πικρῶς μελιζόμενος, ἄτμητος ἔμεινας τῇ πίστει, καὶ τῆς ἐν Χριστῷ ἑνώσεως, τελειότερον ἔτυχες· τοῦ γὰρ πόθου σου εὗρες τὸ πλήρωμα, καὶ τῶν Μαρτύρων συνήφθης τοῖς δήμοις· μεθ' ὧν τοῖς ἄνω δόξης κατατρυφῶν, σὺν αὐτοῖς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν ... Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ σήμερον· ὁ γὰρ ἄναρχος Λόγος τοῦ Πατρός, ἀρχὴν λαβὼν χρονικήν, μὴ ἐκστὰς τῆς αὐτοῦ θεότητος, ὑπὸ Παρθένου ὡς βρέφος τεσσαρακονθήμερον, Μητρὸς ἑκὼν προσφέρεται, ἐν ναῷ τῷ νομικῷ· καὶ τοῦτον ἀγκάλαις εἰσδέχεται ὁ Πρέσβυς, Ἀπόλυσον κράζων, ὁ δοῦλος τῷ Δεσπότῃ· οἱ γὰρ ὀφθαλμοί μου εἶδον τὸ σωτήριόν σου. Ὁ ἐλθὼν εἰς τὸν κόσμον, σῶσαι γένος ἀνθρώπων, Κύριε, δόξα σοι.

Εἴσοδος, Φῶς ἱλαρόν..., τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. ΜΓ' 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. Γ' 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. Ε' 15—Ϛ' 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α'.

Χαίρει ἡ πατρίς σου, καὶ σὺν αὐτῇ πᾶσα ἡ Ἐκκλησία, ἐν τῇ λαμπρᾷ ἀθλήσει σου, Νεομάρτυς Γεώργιε· ὑπερφυῶς γὰρ ἠγωνίσω, ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ, καὶ πάντας ἐξέπληξας, ἐν τῇ ἀτρέπτῳ

στάσει· τὸ γὰρ σῶμα τεμνόμενος, ἔχαιρες τῷ πνεύματι, καὶ τῇ ἐλπίδι τοῦ κρείττονος, τῶν πόνων οὐκ ᾐσθάνου· ὢ τῆς καρτερίας σου, Ἀθλητὰ πανθαύμαστε! Ἄγγελοι ἐθαύμασαν, τῆς σῆς ψυχῆς τὴν ἀνδρείαν, δαίμονες ἐπνίγησαν, ἐν τοῖς ῥείθροις τῶν αἱμάτων σου, καὶ Χριστὸς ὁ Κύριος, τὴν σὴν ἄθλησιν ἐδέξατο, ὡς θυσίαν εὐπρόσδεκτον. Αὐτὸν ἱκέτευε, δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Τοῖς τῶν μαρτύρων παιδευόμενος ἄθλοις, καὶ τῇ αὐτῶν προγυμναζόμενος μελέτῃ, τῶν ἀγώνων αὐτοῖς ἐκοινώνησας, καὶ τῆς εὐκλείας ἴσος ὤφθης, Νεομάρτυς Γεώργιε· εὐθέτου γὰρ καιροῦ λαβόμενος, ἀνδρειοφρόνως πρὸς τὸ σκάμμα ἐχώρησας, μὴ φεισάμενος σαρκὸς θνησκούσης· καὶ τοῦ Χριστοῦ ὁμολογήσας τὸ ὄνομα, ὑπὲρ αὐτοῦ προθύμως τέθνηκας, ὡς γενναῖος ἀριστεύς· ἐντεῦθεν ἀντάξια, ἐκομίσω Μάρτυς τὰ ἔπαθλα.

Ἦχος γ΄.

Μαρτυρικὴν ἐπιδειξάμενος ἔνστασιν, ἐν στερροτάτῳ φρονήματι, τοῖς τυράννοις ἐβόας Γεώργιε· Εἰ καὶ μελίζετε τὸ σῶμά μου, ἀλλὰ τῇ Χριστοῦ ἀγάπῃ, ἐπὶ πλεῖόν με συνάπτετε. Τέμνετε οὖν τὰ μέλη μου, ἵνα μείζονος δόξης ἔλλαμψιν, ἐν οὐρανοῖς παρέξῃ μοι, ὁ ἀψευδῶς ἐπαγγειλάμενος· Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ ζήσεται. Ἀλλ' ὦ Μάρτυς καρτερόψυχε, τῆς ἐν αὐτῷ ζωῆς ἀπολαύων, καὶ θέσει θεούμενος, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Τῷ πυρὶ τῆς θείας ἀγάπης, ἀναφλεχθεὶς τὴν ψυχήν, τῆς ἀσεβείας τὴν ὕλην κατέφλεξας, Ἀθλοφόρε Γεώργιε· ὅλῳ τῷ νοῒ γὰρ ἀτενίζων Χριστῷ, παρ' οὐδὲν ἡγήσω, τὰς ἀφορήτους ὀδύνας, ἐν τῇ ἐκτομῇ τῶν μελῶν, τῇ ἀπ' οὐρανοῦ κουφιζόμενος ῥοπῇ. Ὅθεν Μαρτύρων μὲν τὴν νίκην, λαμπρῶς ἀνεκεφαλαίωσας, ἡμῖν δὲ ὡς λαμπὰς νεόφωτος ἀνήφθης, φωτίζων καὶ στηρίζων, τῆς εὐσεβείας τῇ αἴγλῃ, καὶ πρὸς Θεὸν καθοδηγῶν, τοὺς σὲ μακαρίζοντας.

Δόξα... Ἦχος πλ. α΄.

Ἡ τοῦ Σωτῆρος δύναμις, ἐν ἀσθενείᾳ τῆς σαρκός σου, ἀληθῶς ἐθαυμαστώθη Γεώργιε· ἐν αὐτῷ γὰρ ἀθλῶν, καὶ τοῖς πάθεσι αὐτοῦ ῥωννύμενος, ὥσπερ ἄλλου πάσχοντος διέκεισο, ἐν τῷ πικρῶς τέμνεσθαι τὸ σῶμά σου· τομὴν γὰρ οὐχ ὑπέστης, τῆς ἐν αὐτῷ ἑνώσεως, ἀλλ' ὅλος ἠγλαϊσμένος αὐτῷ παρέστης, καλῶς τελέσας τὸν ἀγῶνα. Διὸ τελοῦντες τὴν μνήμην σου, τὴν σὴν ἄθλησιν γεραίρομεν, ὁμοφώνως βοῶντες· Νεομάρτυς στερρόψυχε, ὡς ἔχων παρρησίαν πρὸς Κύριον, πρέσβευε εὑρεῖν ἡμᾶς ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

www.tezaurliturgic.ro



Καὶ νῦν... Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ὁ παλαιὸς ἡμερῶν, νηπιάσας σαρκί, ὑπὸ Μητρὸς Παρθένου τῷ Ἱερῷ προσάγεται, τοῦ οἰκείου νόμου πληρῶν τὸ ἐπάγγελμα· ὃν Συμεὼν δεξάμενος ἔλεγε· Νῦν ἀπολύεις ἐν εἰρήνῃ, κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου· εἶδον γὰρ οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου Κύριε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε δυσσεβούντων ἡ πληθύς, σὲ περιεκύκλωσε μάκαρ, ὡς συστροφὴ πονηρά, τότε σου τὸ ἅγιον σῶμα κατέτεμνον, τοῦ Σωτῆρος τὸ ὄνομα, ἐπικαλουμένου, καὶ τῷ θείῳ ἔρωτι, ἐνδυναμούμενον· ὅθεν νικηφόρος ἀνῆλθες, πρὸς τὰς οὐρανίους σκηνώσεις, ἔνθα φῶς Γεώργιε ἀνέσπερον.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος...

Χεῖρας ἐκκοπεὶς καρτερικῶς, ῥῖνα ἐκτμηθεὶς καὶ τὰ ὦτα, ἀπεριτρέπτῳ νοΐ, γλῶσσαν δὲ τὴν εὔλαλον ἀφαιρεθεὶς ἀπηνῶς, Ἀθλοφόρε Γεώργιε, καὶ ἐξορυχθεὶς σου, ὄμματα σκληρότατα, καὶ κεφαλὴν ἐκτμηθείς, πᾶσαν ἐθριάμβευσας πλάνην, τῆς Ἀγαρηνῶν δυσσεβείας, καὶ Χριστοῦ τὸ ὄνομα ἐδόξασας.

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν αὐλαῖς...

Χαίρει ἡ πατρίς σου Ἀθλητά, ἐν τῇ σῇ ἁγίᾳ ἀθλήσει, σεμνυνομένη ἐν σοί, σὺν αὐτῇ δὲ ἅπασα, ἡ Κυδωνία σκιρτᾷ, ὡς θυσίαν εὐπρόσδεκτον, καὶ κάρπωμα θεῖον, τῷ Χριστῷ Γεώργιε, σὲ προσενέγκασα, ἅμα καὶ Φολέγανδρος Μάρτυς, σὺν αὐταῖς βοᾷ γηθομένη· Κἀμοῦ θεῖον κλέος πέλεις Ἅγιε.

Δόξα... Ἦχος πλ. δ'.

Δεῦτε ἅπαντες πιστοί, καὶ θεασώμεθα τῷ πνεύματι, οἷον ἆθλον διήνυσεν, ὁ νέος Ἀθλητής, τοῦ Χριστοῦ Γεώργιος· ὡς ἀνδριὰς γὰρ ἵσταται, ἀκλινὴς καὶ ἄσειστος, πικρῶς ἐκμελιζόμενος, ὑπ' ἀνδρῶν ἀνόμων· ὢ τοῦ θαύματος! πῶς ἤνεγκεν ἐν σώματι φθαρτῷ, τὰς τῶν μελῶν ἀφαιρέσεις, καὶ τὰς ἐκ τούτων ἀλγηδόνας, ὡς ἄσαρκος μηδόλως πάσχων; ἀλλ' ἢ τῷ πόθῳ Χριστοῦ, ἐν ᾧ ἐνετρύφα, καὶ κραταιῶς ἐνεδυναμοῦτο. Καὶ νῦν τὸ στέφος τῆς ζωῆς, εἰληφὼς παρὰ Κυρίου, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Καὶ νῦν... Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἀνδρέου Κρήτης.

Ὁ τοῖς Χερουβεὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφείμ, σήμερον τῷ θείῳ Ἱερῷ, κατὰ νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις· καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα θεοπρεπῶς, ὡς ζεῦγος τρυγόνων τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν ἐθνῶν τὸν νεόλεκτον λαόν· περιστερῶν δὲ δύο νεοσσούς, ὡς ἀρχηγὸς Παλαιᾶς τε καὶ Καινῆς. Τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεών, τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον, Θεοτόκον Μαρίαν, τὰ τοῦ πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε· καὶ παρ' αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι· ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον τοῦ Χριστωνύμου λαοῦ.

Νῦν ἀπολύεις..., τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τῶν πάλαι ἰσότιμος, πανευκλεῶν Ἀθλητῶν, ἐδείχθης Γεώργιε, ἐν τοῖς ἐσχάτοις καιροῖς, ἀθλήσας στερρότατα· σῶμα γὰρ ἐκτμηθείς σου, δι' ἀγάπην Κυρίου, ρείθροις τῶν σῶν αἱμάτων, τοὺς πιστοὺς καταρδεύεις, ὑμνοῦντας Νεομάρτυς, τὴν θείαν σου ἄθλησιν.

Καὶ τὸ τῆς Ἑορτῆς. Ἦχος α'.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Χορὸς Ἀγγελικός.

Χορὸς Ἀγγελικός, ἐπεκρότησεν ἄνω, θεώμενος τὴν σήν, ἐν ἀθλήσει ἀνδρείαν, παμμάκαρ Γεώργιε, Ἀθλητῶν ἐγκαλλώπισμα· ὅθεν σήμερον, τὴν σὴν γεραίροντες μνήμην, τοὺς ἀγῶνάς σου, τοὺς ἱεροὺς εὐφημοῦμεν, Χριστὸν μεγαλύνοντες.

Δόξα... Καὶ νῦν... Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Χορὸς Ἀγγελικός, ἐκπληττέσθω τὸ θαῦμα· βροτοὶ δὲ ταῖς φωναῖς, ἀνακράξωμεν ὕμνον, ὁρῶντες τὴν ἄφατον, τοῦ Θεοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ Δυνάμεις, γηραλέαι νῦν, ἐναγκαλίζονται χεῖρες, τὸν μόνον φιλάνθρωπον.

www.tezaurliturgic.ro



Ἐνδυναμωθεὶς ἐν Χριστῷ, τῶν Μαρτύρων ἠκολούθησας τῷ δρόμῳ, ὡς καλὸς σταδιοδρόμος, Νεομάρτυς Γεώργιε· καὶ νίκην περιφανῆ ἀράμενος, κατὰ τοῦ παλαμναίου ἐχθροῦ, τροπαιοφόρος εἰσελήλυθας, πεποικιλμένος ἐν δόξῃ, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, Ἀθλητὰ μακάριε, ταῖς πρὸς αὐτὸν πρεσβείαις σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου... καὶ οἱ Κανόνες, τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς.

**«Τὴν σὴν Γεώργιε μνήμην σέβω. Γερασίμου».**

Ὠδὴ α΄. Ἦχος α΄. Ὠδὴν ἐπινίκιον.

Τὴν σὴν ἑορτάζοντες, ἁγίαν μνήμην, ἐκ σοῦ ἐξαιτούμεθα, χάριν Γεώργιε, ἣν δίδου Μάρτυς δαψιλῶς, ἀνευφημῆσαί σου πιστῶς, σκάμμα τὸ μέγιστον.

Ἡ σὴ θεία ἄθλησις, ἐσχάτοις χρόνοις, πιστῶν ἀνεπτέρωσε, Μάρτυς τὸ φρόνημα, πρὸς τὴν ἀγάπην Χριστοῦ, τοῦ ὑπομένειν δι' αὐτόν, ἅπαν ἐπίπονον.

Νευρώσας τὸ φρόνημα, θείαις μελέταις, τοῖς πόνοις ὡμίλησας, Μαρτύρων ἔνδοξε, ὥσπερ ἐπόθεις θερμῶς, καὶ ἤθλησας καρτερικῶς, Χριστοῦ τῷ ἔρωτι.

Θεοτοκίον.

Σαρκὶ Κόρη τέξασα, ὑπὲρ αἰτίαν, Θεὸν τὸν ἀσώματον, κόσμον καινίζοντα, δι' εὐσπλαγχνίαν πολλήν, σωματικῶν καὶ ψυχικῶν, παθῶν με κάθαρον.

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

Ἡ Κυδωνία ἐπαγάλλεται, σὲ περιφανῶς ἐκβλαστήσασα, καὶ ἡ Φολέγανδρος ἐν σοί, Νεομάρτυς σεμνύνεται, ριζουχία ὡς περίβλεπτος, τῆς σῆς ἐξανθήσεως.

Νέος ὁπλίτης Χριστοῦ πέφηνας, Μάρτυς ἀριστεύσας λαμπρότατα, καὶ καθελὼν τὸν δυσμενῆ, τῇ ἀτρέπτῳ ἐνστάσει σου· διὰ τοῦτό σε Γεώργιε, Χριστὸς ἐστεφάνωσε.

Γενναίως ἔστης μελιζόμενος, καὶ τὸ σῶμα Μάρτυς τεμνόμενος· ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ, τὴν ψυχήν σου ἀνέφλεγεν, ὑπομεῖναι τὰ ἐπώδυνα, ὥσπερ ἄλλου πάσχοντος.

Θεοτοκίον.

Ἐκ τῆς γαστρός σου προελήλυθε, σῶμα προσλαβὼν τὸ ἡμέτερον, ὁ Ὑπερούσιος Θεός, μὴ τραπεὶς ὃ ἦν Ἄχραντε, καὶ διέσωσε τὸν ἄνθρωπον, δεινῶς ἀπολλύμενον.

Κάθισμα. Ἦχος δʹ. Κατεπλάγη Ἰωσήφ.

Ἐν τοῖς αἵμασι τοῖς σοῖς, κατεποντίσθη Ἀθλητά, ὁ διώκων σε ἐχθρός, σὺν τοῖς στρατεύμασιν αὐτοῦ, σὺ δὲ ἀνέπτης τροπαιοῦχος Γεώργιε, εἰς γῆν τῆς ὑπὲρ νοῦν ἀγαλλιάσεως, καὶ Μάρτυσι κλεινοῖς, συγκαταλέλεξαι, μεθ' ὧν τρυφῶν Χριστοῦ τῆς λαμπρότητος, ὑπὲρ ἡμῶν καθικέτευε, πταισμάτων λύσιν, ἡμῖν δοθῆναι, καὶ σωτηρίαν καὶ ἔλεος.

Δόξα... Καὶ νῦν... Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐν τῷ ὄρει τῷ Σινᾷ, πάλαι κατεῖδε Μωϋσῆς, τὰ ὀπίσθια Θεοῦ, καὶ ἀμυδρῶς θείας φωνῆς, κατηξιώθη ἐν γνόφῳ τε καὶ θυέλλῃ· νῦν δὲ Συμεών, τὸν σαρκωθέντα Θεόν, ἀτρέπτως δι' ἡμᾶς ἐνηγκαλίσατο· καὶ γεγηθὼς ἠπείγετο τῶν τῆδε, πρὸς τὴν ζωὴν τὴν αἰώνιον· διὸ ἐβόα· Νῦν ἀπολύεις, τὸν δοῦλόν σου Δέσποτα.

Ὠδὴ δʹ. Εἰσακήκοα Κύριε.

Ὡμολόγησας Ἅγιε, Χριστοῦ τὴν κλῆσιν τὴν παναγίαν, καὶ ἀνδρείως κατεπάλαισας, Ἀθλητὰ Γεώργιε, τῶν ἀντικειμένων τὴν δύναμιν.

Ῥείθροις θείων αἱμάτων σου, τῆς δυσσεβείας ἔσβεσας φλόγα, καὶ πιστῶν τὸ φρόνημα, ἤρδευσας Γεώργιε, πρὸς καρποφορίαν οὐράνιον.

Γεωργήσας τῆς πίστεως, φερωνύμως τὰς ἀντιδόσεις, μαρτυρίου ἄσταχυν, ἐδρέψω Γεώργιε, καταβεβληκὼς τὸν ἀντίπαλον.

Θεοτοκίον.

Ἵνα δόξης ἧς πέπτωκεν, Ἀδὰμ ὁ πρῶτος αὖθις μετάσχῃ, Ἀδὰμ ὤφθη ἐκ σοῦ δεύτερος, Θεὸς ὁ Ὑπέρθεος, Κόρη καὶ τὸν κόσμον διέσωσε.

Ὠδὴ εʹ. Τὴν σὴν εἰρήνην.

Ἐνορῶν τῷ πνεύματι, Χριστὸν ἀκλινῶς, ἔφερες ἀνδρείως, τοὺς πόνους Γεώργιε, ἐν τῷ ἐκτέμνεσθαι τὰ μέλη σου, πρὸς τὰς ἀϊδίους, προσβλέπων ἀντιδόσεις.

Μηδαμῶς φεισάμενος, ἀκμῆς τῆς σαρκός, μηδὲ τῶν ἐν κόσμῳ, τερπνῶν ἀπολαύσεων, σαυτὸν εἰς θάνατον ἐκδέδωκας, ὑπὲρ τῆς ἀγάπης, Χριστοῦ τοῦ Ζωοδότου.

Νοητοὶ ὡς κύνες σοι, κυκλώσαντες ἐχθροί, ἔτεμον ἀγρίως, τὰ μέλη σου Ἅγιε, Χριστοῦ τῷ πόθῳ δυναμούμενον, καὶ τῆς ἀσεβείας, ἐκλύοντα τὸ θράσος.

Θεοτοκίον.

Ἥλιος ὁ ἄδυτος, ἐκ σοῦ σωματικῶς, ἀνέτειλε Κόρη, καὶ κόσμον ἐφώτισε, Θεογνωσίας ἐπιλάμψεσιν, οὗ κἀμὲ Παρθένε, καταύγασον τῇ αἴγλῃ.

Ὠδὴ στʹ. Τὸν Προφήτην Ἰωνᾶν.

Μαρτυρίου τὴν ὁδόν, διανύσας ἀκλινῶς, ἐν ἐσχάτοις τοῖς καιροῖς, στρατιώτης εὐκλεής, Γεώργιε, Χριστοῦ ἐδείχθης, ἀθλήσας ἄριστα.

Ἡ μελῶν σου ἐκκοπή, ἣν ὑπέμεινας στερρῶς, ἀκηράτων ἀγαθῶν, πρόξενος καὶ παροχή, Γεώργιε, ὄντως σοι ὤφθη, ἐν οὐρανίοις σκηναῖς.

Νέος ὤφθης Ἀθλητής, τοῦ Παντάνακτος Χριστοῦ, μιμησάμενος καλῶς, τῶν ἀρχαίων Ἀθλητῶν, τὴν ἄθλησιν, καὶ τὴν ἀνδρείαν, Μάρτυς Γεώργιε.

Θεοτοκίον.

Σαρκωθεὶς ὑπερφυῶς, ἐξ αἱμάτων σου ἁγνῶν, ὁ παντέλειος Θεός, τῆς κατάρας τοῦ Ἀδάμ, διέσωσε, τοὺς σὲ Παρθένε, ὀρθῶς δοξάζοντας.

Κοντάκιον. Ἦχος γʹ. Ἡ Παρθένος σήμερον.

Ἐν ἐσχάτοις ἔτεσι, περιφανῶς ἐναθλήσας, μαρτυρίου στέφανον, παρὰ Χριστοῦ ἀνεδήσω· τούτου γάρ, τὴν θείαν χάριν ἐνδεδυμένος, ἔφερες, τὴν τῶν μελῶν σου τομὴν ἀνδρείως· διὰ τοῦτό σε τιμῶμεν, νέε ὁπλῖτα Χριστοῦ Γεώργιε.

Ὁ Οἶκος.

Ἐν εὐσεβείᾳ ἐκτραφείς, καὶ βίῳ σεμνοτάτῳ, ὤφθης Μαρτύρων ζηλωτής, τούτων τὰ ἆθλα μελετῶν, καὶ τὴν ἀνδρείαν τὴν πολλήν, ἐν ἀκορέστῳ πόθῳ. Ὅθεν Χριστὸς ὡς ἀγαθός, τὴν ἔφεσίν σου ἐκπληρῶν, στάδιον ἀθλήσεώς σοι ἤνοιξε, καὶ ἐν αὐτῷ ἀγωνισθῆναί σε κέκληκεν, ἐν ἀοράτῳ κλήσει· ἐν ᾧ συμπλακεὶς τῷ ἐχθρῷ, τοῦτον κατὰ κράτος

www.tezaurliturgic.ro



ἐτροπώσω, τῇ ἀκαταπτοήτῳ παρρησίᾳ, καὶ ἀνδρειοτάτῳ φρονήματι· τῶν γὰρ μελῶν τὰς ἐκκοπὰς στερρῶς ἐκαρτέρεις, καὶ τὸν Χριστὸν ὡμολόγεις ἐν τῷ μελίζεσθαι, παρ' οὗ ἀξίως ἐδοξάσθης, ὡς στρατιώτης ἀκαταγώνιστος· ἔνθεν καὶ ἡμεῖς σε τιμῶμεν, νέε ὁπλῖτα Χριστοῦ Γεώργιε.

Συναξάριον.

Τῇ ζ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Γεωργίου, τοῦ ἐκ χωρίου Ἀλικιανοῦ τῆς ἐπαρχίας Κυδωνίας Κρήτης καταγομένου, ἀθλήσαντος δὲ ἐν Κρήτῃ κατὰ τὸ σωτήριον ἔτος 1867.

Στίχ. Ἀθλήσει γεώργιον καινὸν ἐδείχθης
Κυρίῳ Γεώργιε, ᾧ συναγάλλῃ.

Ἑβδομάτῃ Γεώργιος μελεϊσθεὶς Κυρίῳ ἔστη.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἡ κάμινος Σωτήρ.

Ἐτμήθης μὲν τὸ σῶμα Γεώργιε, καὶ ἄτμητος τῷ πνεύματι ἔμεινας, ἐν τῇ ἑνώσει Χριστοῦ, τοῦ σὲ δοξάσαντος.

Βαφεῖσαν ἐξ αἱμάτων Γεώργιε, στολὴν ἐνδεδυμένος ὑπέρλαμπρον, συμβασιλεύεις Χριστῷ, μετὰ Μαρτύρων ἀεί.

Ὡς θεῖόν σε μεσίτην πρὸς Κύριον, πατρίς σου κεκτημένη Γεώργιε, πάσης λυτροῦται ὀργῆς, τῇ σῇ πρεσβείᾳ ἀεί.

Θεοτοκίον.

Γαλήνην καὶ εἰρήνην παράσχου μοι, τῷ νῷ καὶ τῇ ψυχῇ Θεονύμφευτε, ταραττομένῳ ἀεί, περισπασμοῖς ὑλικοῖς.

Ὠδὴ η'. Ὕμνον σοι προσφέρομεν.

Ἔλαμψας Γεώργιε τῇ ἀθλήσει, καὶ καταυγάζεις τὴν Ἐκκλησίαν, ἐν ἐσχάτοις ἔτεσι, τῷ φωτὶ τῆς ἀγάπης, Χριστοῦ τοῦ Παντάνακτος.

Ῥώμῃ δυναμούμενος τοῦ Δεσπότου, ἐν ἀσθενείᾳ σαρκὸς καθεῖλες ὄμμα τὸ μετέωρον, Εὐλογεῖτε πάντα τὰ ἔργα, κραυγάζων τὸν Κύριον.

Ἄθλησιν διήνυσας τὴν ἁγίαν, καὶ Ἀθλοφόροις συνηριθμήθης, ὡς ἐπόθεις Ἅγιε, μεθ' ὧν δόξης τῆς ἄνω, μετέχεις εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Σβέσον νῦν τὸν καύσωνα τῆς ψυχῆς μου, τῇ ἐπομβρίᾳ τῆς χάριτός σου, Θεοτόκε Πάναγνε, καὶ παράσχου μοι Κόρη, γνησίαν ἐν πᾶσι μετάνοιαν.

Ὠδὴ θ΄. Τὴν ζωοδόχον πηγήν.

Ἰσχύς σοι θεία ἐδόθη Γεώργιε, παρὰ Χριστοῦ ἐν καιρῷ τῶν ἀγώνων σου· ὅθεν κατενίκησας, τοῦ ἐχθροῦ τὴν δύναμιν, καὶ τῶν μελῶν ταῖς τομαῖς ἐγκαρτερήσας, τροπαιοφόρος Χριστῷ ἀνελήλυθας.

Μαρτυρικὴν μιμησάμενος ἔνστασιν, μαρτυρικῶς ἠνδραγάθησας ἔνδοξε, καὶ Μαρτύρων σύμμορφος, γέγονας ἐν ἅπασι, μεθ᾽ ὧν τῆς δόξης Κυρίου ἀπολαύων, τῶν σῶν ἀγώνων κομίζῃ τὰ ἔπαθλα.

Ὁ Νεομάρτυς Κυρίου Γεώργιος, τῆς Κυδωνίας τὸ ἔξοχον βλάστημα, τὴν ἐνεγκαμένην σε, πατρίδα διάσωζε, ταῖς σαῖς πρεσβείαις ἐκ πάσης δυσπραγίας, πανηγυρίζουσαν πόθῳ τὴν μνήμην σου.

Θεοτοκίον.

Ὑπερανέστηκε πάντων ἡ δόξα σου· ὅτι Θεὸν τῶν ἁπάντων ἐκύησας, ἐξ ἁγνῶν αἱμάτων σου, ἄνθρωπον γενόμενον, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον Παρθένε· ὅθεν κἀμὲ σωτηρίας ἀξίωσον.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἐν χάριτι τῇ τοῦ Χριστοῦ, ἀριστεύσας νομίμως, ὑπήνεγκας τοῦ σώματος, ἐκτομὰς ἀνενδότως, καὶ ἔτεμες τῆς ἀπάτης, τοὺς συνδέσμους Ἅγιε· ἐντεῦθεν τῆς τῶν Μαρτύρων, ἠξιώθης χαρμονῆς, Νεομάρτυς εὐκλεῶς, Γεώργιε ὡς ἐπόθεις.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἐν Πνεύματι τῷ Ἱερῷ, παραστὰς ὁ Πρεσβύτης, ἀγκάλαις ὑπεδέξατο, τὸν τοῦ νόμου Δεσπότην, κραυγάζων· Νῦν τοῦ δεσμοῦ με, τῆς σαρκὸς ἀπόλυσον, ὡς εἴρηκας ἐν εἰρήνῃ· εἶδον γὰρ τοῖς ὀφθαλμοῖς, ἀποκάλυψιν ἐθνῶν, καὶ Ἰσραὴλ σωτηρίαν.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Νεομάρτυρα πάντες Χριστοῦ Γεώργιον, ὡς ζηλωτὴν τῶν πάλαι, Ἀθλοφόρων Ἁγίων, καὶ νέον Ἐκκλησίας τῆς τοῦ Θεοῦ, ἀνυμνήσωμεν στήριγμα, ἵνα πρεσβεύῃ ἀπαύστως δοῦναι ἡμῖν, σωτηρίας τὰ αἰτήματα.

www.tezaurliturgic.ro



Τῶν Ἀθλητῶν μακαρίζων τὰ κατορθώματα, αὐτῶν κατηξιώθης, κοινωνὸς χρηματίσαι, Γεώργιε ἀθλήσας ὑπὲρ Χριστοῦ, ἐν ἐσχάτοις τοῖς ἔτεσι· μεθ᾽ ὧν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Ἡ ἐκκοπὴ τῶν μελῶν σου πάσας ἀπέτεμε, τὰς μηχανὰς τοῦ πλάνου, καὶ δολίου Βελίαρ, καὶ σύναψις τελεία τῆς ἐν Χριστῷ, κοινωνίας καὶ χάριτος, τῶν εὐσεβούντων ἐγένετο ἀληθῶς, πανᾳοίδιμε Γεώργιε.

Ἡ Κυδωνίας εὐφραίνου πᾶσα περίοικος, ἐπὶ τῇ θείᾳ μνήμῃ, τοῦ κλεινοῦ Γεωργίου· ἐκ σοῦ γὰρ οὗτος ἔφυ ὡς ἄνθος τερπνόν, καὶ ὀσμῇ θείου Πνεύματος, ὡς Ἀθλητὴς τοῦ Κυρίου τῶν εὐσεβῶν, καθηδύνει τὴν διάνοιαν.

Δόξα... Ἦχος πλ. β΄.

Ἀθλητικὸν ἀνύσας ἀγῶνα, θεοπρεπῶς ἐδοξάσθης, Νεομάρτυς Γεώργιε· ἐντέχνως γὰρ ὑποβαλών, τὸν ἐπελθόντα ἐχθρόν, τοῖς τετμημένοις σου μέλεσι, καὶ τοῖς ῥείθροις τῶν αἱμάτων, μέγα τρόπαιον ἔστησας, κατὰ τῆς ἀσεβείας. Ἀλλ᾽ ὦ Μάρτυς ἀξιάγαστε, τῆς σῆς πατρίδος δόξα καὶ καύχημα, καὶ τοῦ Χριστοῦ γενναῖε στρατιῶτα, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν... Τῆς Ἑορτῆς. Ὁ αὐτός. Γερμανοῦ.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ᾽ ἅρματος Χερουβείμ, ἀνακλιθῆναι εὐδοκήσας Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος, ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή.

Ἀπόστολον ζήτει τῇ 2ᾳ Σεπτεμβρίου, Εὐαγγέλιον κατὰ Ματθαῖον, τῇ Τετάρτῃ τῆς γ΄ ἑβδομάδος, Ματθαίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις Κυδωνίας θεῖος βλαστός, καὶ τῆς Φολεγάνδρου, ἐγκαλλώπισμα εὐκλεές· χαίροις ὁ τὸ σῶμα, τμηθεὶς ὑπὲρ Κυρίου, Γεώργιε θεόφρον, στερρῷ φρονήματι.

Δίστιχον.

Γεώργιε αἴνεσιν θείαν σοι ᾄδει.
Γεράσιμος πόθῳ σοι κεκρατημένος.